# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΙΛΒΕΣΤΡΟΥ
# ΠΑΤΡΙΑΡΧΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

Οὗ ἡ Μνήμη τῇ ΙΘ′ Φεβρουαρίου.

Ποιηθεῖσα
ὑπὸ τοῦ ἐλαχίστου ἐν Ἐπισκόποις Κυρίλλου, τοὐπίκλην Κογεράκη,
Μητροπολίτου τῆς Ἁγιωτάτης Μητροπόλεως Ῥόδου.

## ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α′. Πανεύφημοι Μάρτυρες.

Πανεύφημε Σίλβεστρε τὴν σήν, ἱερὰν πανήγυριν, οἱ εὐσεβεῖς ἑορτάζομεν, πιστῶς βοῶντές σοι· Χαίροις θεῖε ἄνερ, ὁ Χριστὸν τοῦ βίου σου, δοξάσας ἱεροῖς κατορθώμασιν· αὐτῷ οὖν πρέσβευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Θεόληπτε Σίλβεστρε Χριστῷ, τῷ Θεῷ ἀνέθηκας, ἀπὸ παιδὸς τὴν καρδίαν σου, σοφῷ φρονήματι, καὶ Εὐαγγελίου, ἀκριβῶς ἐπλήρωσας, τὸν λόγον τῇ σεπτῇ πολιτείᾳ σου· αὐτῷ οὖν πρέσβευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Μακάριε Σίλβεστρε ἀνήρ, ἀγαθὸς γενόμενος, ταῖς ἀρεταῖς διὰ πίστεως, καλὸν ποιμένα σε, τῆς Ἀλεξανδρείας, ὁ Θεὸς ἀνέδειξεν, ἐν χρόνοις πονηροῖς ὡς φιλάνθρωπος· αὐτῷ οὖν πρέσβευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Θεόσοφε Σίλβεστρε λαόν, τοῦ Θεοῦ τὸν ἅγιον, ποιμαντικῶς διηκόνησας, ποιμὴν ὡς γνήσιος, καὶ εἰς μάνδραν θείαν, τῆς ζωῆς εἰσήλασας, Ἁγίων ἐντρυφῶν τῆς λαμπρότητος· μεθ᾽ ὧν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα Πατρί. Ἦχος δ′.

Ὅσιε Πάτερ, Σίλβεστρε μακάριε, Ἀλεξανδρείας Πρόεδρε, τῆς εὐσεβείας ἔργοις εὐδοκιμήσας, καὶ ποιμασίας καμάτοις διαπρέψας, τὸν μισθὸν ἀπέλαβες, ἐν ταῖς αὐλαῖς τῆς ζωῆς, ὡς ἔφη ὁ Χριστός, ἑκατονταπλασίονα. Ὅθεν πρέσβευε ἐκτενῶς, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, Εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. β'. Τριήμερος ἀνέστης.

Συνέλθωμεν προθύμως πιστοί, καὶ ὕμνοις ἐκτελέσωμεν, τοῦ Σιλβέστρου τὸ μνημόσυνον αὐτῷ, βοῶντες ἐκ καρδίας· Δυσώπει Πάτερ θεῖε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Στίχ. Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Ἐδούλευσας προθύμως Χριστῷ, ἐν βίῳ παντὶ Σίλβεστρε, καὶ προέστης τοῦ ποιμνίου σου καλῶς, σοφίας ἐν δυνάμει· διό σε εὐφημοῦμεν, τὴν σὴν πρεσβείαν ἐξαιτούμενοι.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Πρεσβείαις σου ἐξαίτει πολλῶν, πταισμάτων τὴν συγχώρησιν, ἡμῖν πᾶσιν ἐκτελοῦσί σου πιστῶς, ᾀσμάτων ὑμνῳδίαις, τὴν μνήμην τὴν ἁγίαν, Σίλβεστρε Πάτερ ἱερώτατε.

Δόξα. Ἦχος πλ. δ'.

Ὁ τῇ ἀσκήσει φαιδρῶς, ὡς ἥλιος ἐξαστράψας, καὶ ἀρεταῖς ποιμαντικαῖς, τὴν Ἐκκλησίαν φαιδρύνας, Σίλβεστρε πανεύφημε, Ἀλεξανδρείας Πρόεδρε, μὴ παύσῃ πρεσβεύων, ὑπὲρ ἡμῶν Ἱεράρχα, τῶν πόθῳ ἑορταζόντων, τὴν μνήμην σου σήμερον.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

«Νῦν ἀπολύεις», τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

**ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ**

Μετὰ τὸν Προοιμιακὸν στιχολογοῦμεν τό «Μακάριος ἀνήρ». Εἰς δὲ τό «Κύριε ἐκέκραξα», ἱστῶμεν στίχ. η′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α′. Τῶν οὐρανίων ταγμάτων.

Α᾽λεξανδρείας τὸν θεῖον, Πρόεδρον Σίλβεστρον, τῆς εὐσεβοῦς λατρείας, τὸν σεπτὸν ὑποφήτην, σήμερον στεφάνοις, ᾀσματικοῖς, οἱ πιστοὶ στεφανώσωμεν, ἵνα αὐτοῦ ταῖς πρεσβείαις πρὸς τὸν Θεόν, τῶν πταισμάτων λύσιν λάβωμεν.

Καταφρονήσας τοῦ κόσμου, τῆς ματαιότητος, ἀσκητικῶς ἐγένου, ἀρετῶν ἐκμαγεῖον, Σίλβεστρε θεόφρον· ὅθεν χρισθείς, Παρακλήτου τῷ χρίσματι, Πατριαρχῶν ἐν χορείᾳ λάμπεις φωστήρ, Ἐκκλησίας ἀπλανέστατος.

Ε᾽ν τῇ λυχνίᾳ τοῦ Μάρκου, ὡς λύχνος Σίλβεστρε, δι᾽ ἀρετῆς ἀνήφθης, θεϊκῇ προμηθείᾳ, λάμπων τε ἐκεῖθεν, κόσμῳ παντί, τῷ φωτὶ τῆς σῆς χάριτος, καὶ εὐσεβῶν τὰς καρδίας φωταγωγῶν, τῶν ἐκ πόθου εὐφημούντων σε.

Τὸν κατὰ χάριν υἱόν σε, τὸν γνησιώτατον, τῆς Ὀρφανῆς Παρθένου, καὶ Ἁγνῆς Θεοτόκου, Σίλβεστρε ὑμνοῦμεν, μεθ᾽ ἧς θερμῶς, τὸν Χριστὸν καθικέτευε, ἐκ πειρασμῶν τοῦ ῥυσθῆναι παντοδαπῶν, ἡμᾶς πάντας ὡς φιλάνθρωπος.

Ἕτερα. Ἦχος β′. Ὅτε ἐκ τοῦ ξύλου.

Ο῞λος ἐκ νεότητος τρωθείς, τῶν ἐπουρανίων τῷ πόθῳ, τὴν δεκτικήν σου ψυχήν, ζήλῳ ἠκολούθησας, Χριστοῦ τοῖς ἴχνεσι, καὶ τῇ ψήφῳ τοῦ Πνεύματος, τῆς Ἀλεξανδρείας, θρόνον κατεκόσμησας, λαμπρῶς τὸν μέγιστον. Ὅθεν Πάτερ Σίλβεστρε μάκαρ, δόξης ὡς μετέχων τῆς ἄνω, τῶν ἀνευφημούντων σε μνημόνευε.

Ο῞λος ἀνακείμενος Θεῷ, ἐκ τῆς ἡλικίας τῆς πρώτης, Σίλβεστρε Πάτερ σοφέ, πλοῦτον ἐθησαύρισας, αὐτοῦ τῆς χάριτος, καὶ ἐν χρόνοις τῶν θλίψεων, λαοῦ χριστωνύμου, ὤφθης παραμύθιον, ἔργοις καὶ λόγοις σου. Ὅθεν παριστάμενος θρόνῳ, τῆς ὑπερουσίου Τριάδος, ὑπὲρ τῶν ὑμνούντων σε ἱκέτευε.

Δῶρον ἀξιόθεον Θεῷ, ἑαυτὸν προσάξας ἀσκήσει, καὶ ποιμασίᾳ καλῇ, ἔνδον κατεσκήνωσας, σκηνῆς τῆς κρείττονος, μεθ᾽ Ἁγίων αἰώνια, χορεύων καὶ αἴγλη, θείᾳ τῆς θεώσεως, καταυγαζόμενος. Ὅθεν φωτισμὸν ἡμῖν αἴτει, πᾶσι τοῖς ὑμνοῦσί σου βίου, Σίλβεστρε μακάριε τὸ ἔνθεον.

Μάνδρα Ἀγκαράθου σε τιμᾷ, ἡ πνευματικὴ σου τιθήνη, Σίλβεστρε Πάτερ σοφέ· χαίρει Ἀλεξάνδρεια, ἡ Πατριάρχην σε, θεοφόρον πλουτήσασα, καὶ Ῥόδος κομπάζει, σῶμα δεξαμένη σου, τὸ τιμιώτατον· σὺ δὲ ταῖς πρεσβείαις σου ταύτας, σκέπε καὶ διάσωζε μάκαρ, ἀπὸ τῶν κινδύνων τε καὶ θλίψεων.

Δόξα. Ἦχος πλ. α΄.

Δεῦτε σήμερον πιστοί, ᾄσωμεν ᾆσμα εὐλαβῶς, Χριστῷ τῷ Θεῷ, καὶ τὸν αὐτοῦ θεράποντα, Σίλβεστρον τιμήσωμεν, ἑόρτια κροτοῦντες καὶ λέγοντες· Χαίροις ὁ κατὰ Παῦλον, τῷ κόσμῳ σταυρωθείς, καὶ κόσμον σταυρώσας σεαυτῷ, ἀσκητικῶς ἀγωνισάμενος· ὁ θείας χάριτος τῆς ζωῆς, ἔνδον γενόμενος, καὶ ἐν θρόνῳ Πατριαρχῶν, Ἀλεξανδρείας πόλεως τῆς μεγάλης, ὡς μέγιστος ἐκλάμψας φωστήρ, εὐσεβείας καὶ πίστεως. Ἀλλ᾽ ὡς ἐν οὐρανοῖς, τῷ τρισηλίῳ φωτὶ παριστάμενος, τὸν φωτισμὸν ἐξαίτει, ταῖς ψυχαῖς ἡμῶν Ἅγιε.

Καὶ νῦν. Θεοτοκίον.

Ε᾽ν τῇ Ἐρυθρᾷ θαλάσσῃ, τῆς Ἀπειρογάμου Νύμφης, εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ, Μωϋσῆς διαιρέτης τοῦ ὕδατος· ἐνθάδε, Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος. Τότε, τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ· νῦν δέ, τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος. Ἡ θάλασσα, μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος· ἡ Ἄμεμπτος, μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος. Ὁ ὢν καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος Θεός, ἐλέησον ἡμᾶς.

Εἴσοδος, τό «Φῶς ἱλαρόν», τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. ι΄, 7, 6· γ΄, 13-15· η΄, 6, 34, 35, 4, 12, 14, 17,5-9· κβ΄, 21, 19· ιε΄, 4)

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν καὶ θνητὸς ὃς εἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν, οὐκ ἀντιτάξεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτῇ, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν· ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν εἰσακούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει· αἱ γὰρ ἔξοδοί μου ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ

Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· Ὅτι ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην· ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς· ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε, τοίνυν ἄκακοι, πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά· ὅτι ἀλήθειαν μελετήσει ὁ φάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲ ἐν αὐτοῖς σκολιὸν οὐδὲ στραγγαλιῶδες· πάντα ἐνώπια τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐπὶ Κύριον ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ', 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε', 15-στ', 3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾿ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ

δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ,** Ἰδιόμελα.

Ἦχος α′.

Εὐφραίνονται σήμερον, πιστῶν χοροστασίαι, τελοῦντες τὴν μνήμην σου, Σίλβεστρε Πάτερ Ὅσιε· σὺ γὰρ νεύσει Θεοῦ, Ἀλεξανδρείας τὸν θρόνον ἐπιβάς, θεσμοῖς πατρικοῖς, τὴν Ἐκκλησίαν ἐπεστήριξας, καὶ πατριαρχίας τὴν εὐπρέπειαν, ἐν ταπεινώσει ἐφύλαξας, εὐαγγελικὸν δείξας βίον, διδασκαλίαν τε πάνσοφον, καὶ σπλάγχνα οἰκτιρμῶν, πρὸς λαὸν τὸν ἐν θλίψεσι, δουλείας κακουχούμενον. Ἀλλ᾽ ὡς τῶν πόνων τὰ ἔπαθλα, θεόθεν κομισάμενος, πρέσβευε ἐκτενῶς, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β′.

Τίς οὐκ ἐπαινέσει σε, Σίλβεστρε Πάτερ, Ἀλεξανδρείας Πρόεδρε; ἀσκητικῷ γὰρ γλυκασμῷ, τὴν πικρὰν ἀλγηδόνα, σαρκὸς καταμαλάξας, πίστεως λειμῶνα εὐανθῆ, ἑαυτὸν διὰ βίου ἀνέδειξας, τῶν ἀρετῶν τὰ ἄνθη βλαστάνοντα, καὶ εὐωδιάζοντα μυστικῶς, τῆς Ἐκκλησίας τὸ πλήρωμα. Διὸ σήμερον εὐσεβῶς, τὴν μνήμην σου ἑορτάζομεν, καὶ πρέσβυν σε προσάγομεν, τῷ ἐν Τριάδι Θεῷ, καὶ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ′.

Ο῞σιε Πάτερ Σίλβεστρε, ψήφῳ Θεοῦ, ἀρχιερωσύνης ἀξίως, στολὴν ἐνδυσάμενος, ποιμαντικῆς ἐπιστήμης, θεαρέστοις ἐκφάνσεσι, καὶ πολιτείας ὁσίας, θαυμαστοῖς κατορθώμασι, λαμπροτέραν ταύτην εἰργάσω, καὶ ἐξ Αἰγύπτου φωστήρ, τῇ Ἐκκλησίᾳ ἀνέτειλας· ἥτις σήμερον εὐφραινομένη, ἐπιτελεῖ σου τὴν μνήμην, δοξάζουσα τὸν ἐν Τριάδι Θεόν, τὸν δωρούμενον ἡμῖν, ταῖς πρεσβείαις σου χάριν, καὶ μέγα ἔλεος.

Ἦχος δ′.

Η῾ Ἀλεξάνδρου μὲν πόλις, ἐπὶ σοὶ μέγα χαίρει, Πατριάρχην αὐχοῦσά σε, καὶ χορεύει ἡ Κρήτη, μεγαλαυχοῦσα ὡς πατρίς σου· μείζων δὲ κομπάζει, τῆς Ἀγκαράθου ἡ Μονή, Παρθένου Ὀρφανῆς τὸ παλάτιον, πνευματική σου ἀληθῶς, τιθήνη ὡς ὑπάρχουσα, καὶ ἡγεσίας σου καλῆς, τῶν καρπῶν

ἀπολαύσασα. Ἀλλὰ θεῖε Πάτερ, Ἅγιε Σίλβεστρε, σύντρεις ὡς εὐμενής, τῇ προστασίᾳ σου φύλαττε, ἐξ ἐχθρῶν ἐπιβουλῆς, λοιμικῆς τε ἀπειλῆς, καὶ πάσης ὀργῆς καὶ θλίψεως.

Δόξα. Ἦχος πλ. β′.

Δεῦτε σήμερον πιστοί, θεοφρόνως ἑορτάσωμεν, τὴν μνήμην τὴν ἔνδοξον, Σιλβέστρου τοῦ μάκαρος· βίῳ γὰρ ὁσίῳ, καὶ ποιμασίᾳ θεαρέστῳ, Ἀλεξανδρείας φωστήρ, καὶ Ἐκκλησίας ὀφθαλμός, τοῖς πράγμασιν ἀναδέδεικται· Χριστῷ δὲ ὡς ἐκλεκτός, σὺν πᾶσι τοῖς Ἁγίοις, ἐν οὐρανοῖς παριστάμενος, αἰτεῖται ἡμῖν, ἁμαρτημάτων λύσιν, καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Ἱεράρχου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος δ′. Ὁ ἐξ Ὑψίστου κληθείς.

Α᾽νευφημοῦσι πιστῶν, χοροστασίαι, μνήμην τὴν ἁγίαν σου, ὕμνοις καὶ ᾄσμασι· πνευματικὸν γὰρ ἐπέφανε, σήμερον αὕτη, ἔαρ χειμῶνος ἐν μέσῳ Σίλβεστρε, ζέσει περιθάλπουσα, καὶ κατευφραίνουσα, τῆς δεδομένης σοι χάριτος, παρὰ Κυρίου, τὰς διανοίας τῶν προσιόντων σοι, καὶ δοξαζόντων τὸν δοξάζοντα, σὲ παμμάκαρ Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Στίχ. Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Ε᾽ν Ἀγκαράθου Μονῇ, εὐδοκιμήσας, φοῖνιξ ὡς ὑψίκομος, τοῖς κατορθώμασι, Θεοῦ Ἁγίου τοῖς κρίμασι, μετεφυτεύθης, ἐν γῇ Αἰγύπτου Ὅσιε Σίλβεστρε, ἔνθα ἀρδευόμενος, ῥείθροις τῆς χάριτος, καρποφορίαν ἐβλάστησας, τῆς εὐσεβείας, λαὸν ἐκτρέφων τὸν περιούσιον. Ὅθεν πιστῶς σε μακαρίζομεν, καὶ τὴν μνήμην τὴν σὴν ἑορτάζομεν, μεγαλύνοντες Πάτερ, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Τῆς οἰκουμένης κριτήν, τὸν θεοφόρον, τὸν καὶ τρισκαιδέκατον, θεῖον Ἀπόστολον, Ἀλεξανδρείας τὸν Πρόεδρον, Ἀρχιερέων, Ἀρχιερέα τὸν τιμιώτατον, Ποιμένων Ποιμένα τε, τὸν φιλοπρόβατον, τὸν τῶν Πατέρων

φιλόστοργον, καλὸν Πατέρα, ἡγιασμένε Ὅσιε Σίλβεστρε, σὲ εὐφημοῦμεν ἐν τῇ μνήμῃ σου, καὶ αἰνοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος πλ. δ΄.

Πατριαρχῶν τὸ κλέος, καὶ Μοναζόντων τὸ καύχημα, τῆς εὐσεβείας τὸ ὄργανον, καὶ τῶν πιστῶν διδάσκαλον, Σίλβεστρον τιμήσωμεν· εὐαγγελικαῖς γὰρ ἀρεταῖς, τὸν βίον κατακοσμήσας, ὡς ὅλον ἑαυτόν, ἐκ νεότητος Χριστῷ, διὰ πίστεως ἀναθέμενος, τῶν κατορθωμάτων τὸν μισθόν, εἰς ἑκατὸν ἐκτήσατο. Διὸ καὶ πρὸς αὐτόν, ἐν κατανύξει εἴπωμεν· Ὁσιώτατε Πάτερ, Ἀλεξανδρείας Πρόεδρε, καὶ Ἐκκλησίας καύχημα, πρέσβευε ἐκτενῶς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μῆτερ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις, δέχου Πανάμωμε· ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

«Νῦν ἀπολύεις», τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῶν Ὁσίων τὸν βίον, δι᾽ ἀσκήσεως ἔζησας, καὶ Ἀλεξανδρείας τὸν θρόνον, ἀρεταῖς σου ἐκόσμησας· ἐστήριξας Κυρίου τὸν λαόν, ἐν θλίψεως ἡμέραις πονηραῖς, Μωϋσῆς καθάπερ ἄλλος αὐτοῦ προστάς, θεόφρον Σίλβεστρε Πάτερ. Ὅθεν ζωῆς τὸ δώρημα λαβών, ὡς ἄξιος τῆς κλήσεως, πρέσβευε ὑπὲρ πάντων ἐκτενῶς, τῶν εὐφημούντων σε.

Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Θεῷ ἐκ νεότητος, ἀκολουθήσας πιστῶς, σαρκὸς τῇ ἀσκήσει σου, κατανικήσας ὁρμάς, τοῦ Μάρκου διάδοχος, ἄξιος ἀνεφάνης, καὶ καλῇ ποιμασίᾳ, Σίλβεστρε ἀνεδείχθης, τῆς ζωῆς κληρονόμος· ἡμῶν οὖν ταῖς σαῖς πρεσβείαις, Πάτερ προστάτευε.

Ἕτερον, ψαλλόμενον ἐν τῇ σεβασμίᾳ τῆς Ἀγκαράθου Μονῇ.
Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Παρθένου Ὀρφανῆς σε, υἱὸν τὸν κατὰ χάριν, καὶ τὸν τῆς Μονῆς Ἀγκαράθου, θεόπνουν καθηγέτην, τὸν ἔργοις τῆς πίστεως Θεοῦ,

ἐκφήναντα τὴν δόξαν ἐπὶ γῆς, καὶ ἐν θρόνῳ τῷ τοῦ Μάρκου ταῖς ἀρεταῖς, ἐμπρέψαντα ὑπὲρ λόγον, Σίλβεστρε Πάτερ Ὅσιε πιστοί, ὕμνοις τιμῶμεν κράζοντες· Δίδου τῆς προστασίας σου ἡμῖν, χάριν τὴν ἄφθονον.

Ἕτερον, ψαλλόμενον ἐν Ῥόδῳ, ἔνθα ὁ Ἅγιος ἐκοιμήθη καί ἐτάφη.
Ἦχος γ΄. Θείας πίστεως.

Βίον ἔνθεον, ἐπιτελέσας, καὶ ὡς Ἄγγελος, Ἀλεξανδρείας, γνωρισθεὶς ἐν τῇ καθέδρᾳ μακάριε, καλῷ ἐν γήρᾳ ἐν Ῥόδῳ γενόμενος, πρὸς Παραδείσου μετέβης τὴν εὔκλειαν. Ὅθεν Σίλβεστρε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Τὸ ὁμόηχον Θεοτοκίον καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Ἀ᾿νέτειλεν ἰδού, τῇ παρούσῃ ἡμέρᾳ, ἀστὴρ ὡς φαεινός, ἑορτή σου ἡ θεία, τῆς χάριτος τὴν ἔλλαμψιν, μυστικῶς διαχέουσα, καὶ συνήλθομεν, ᾀσματικῶς σε τιμῶντες, τὸν οὐράνιον, Ἀλεξανδρείας ποιμένα, μακάριε Σίλβεστρε.

Δόξα. Ὅμοιον.

Ἀ᾿σκήσεως σαυτόν, γεωργήσας ἀρότρῳ, καρποὺς τῶν ἀρετῶν, ἐξανθήσας εἰς κόρον, ἐξέθρεψας τὰ ποίμνια, τοῦ Χριστοῦ Πάτερ Σίλβεστρε· ἀλλ᾿ ὡς δίκαιος, ζωῆς τοῦ ξύλου τρυφήσας, καθικέτευε, τὴν Παναγίαν Τριάδα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Κυρία Ὀρφανή, Θεοτόκε Μαρία, βλαστὸς πανευθαλής, τῆς Μονῆς σου ἐδείχθη, ὁ Σίλβεστρος ὁ πάνσοφος, ὁ ποιμὴν ὁ χρηστότατος, ὁ τῆς πίστεως, τῆς εὐσεβοῦς ὑποφήτης, μεθ᾿ οὗ πρέσβευε, ὑπὲρ τῶν πίστει ὑμνούντων, τὸν ἄφραστον τόκον σου.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῶν ἐπὶ γῆς μὴ χαυνωθεὶς ταῖς μερίμναις, τῇ ἐν ἀσκήσει σου ζωῆς ὑπεδέξω, τῆς οὐρανίου χάριτος, πολλὰς δωρεάς· τῆς Ἀλεξανδρείας δέ,

ἀνελθὼν ἐν τῷ θρόνῳ, ταύτης ἐκυβέρνησας, θεαρέστως τὴν ποίμνην· διό σοι Πάτερ Σίλβεστρε Θεός, δικαιοσύνης, τὸν στέφανον ἔδωκεν.

Δόξα. Ὁ αὐτός. Κατεπλάγη Ἰωσήφ.

Α᾽γκαράθου ἐν Μονῇ, ἀσκήσει λύχνος ἀναφθείς, σὲ ἐπέθηκε Θεός, ἐπὶ λυχνίας ὑψηλῆς, Ἀλεξανδρείας τῆς πόλεως τῆς μεγάλης· ὅθεν ἐξ αὐτῆς, χαρισμάτων σου, λάμψας φωτισμόν, τὸν ὑπέρφωτον, τῶν εὐσεβῶν τὸ πλήρωμα φωτίζεις, Σίλβεστρε Πάτερ αἰώνια· διό σε πάντες, ἀνευφημοῦμεν, τὴν Τριάδα αἰνοῦντες.

Καὶ νῦν. Θεοτοκίον.

Παναγία Ὀρφανή, τοῦ Θεοῦ θρόνε ὑψηλέ, κατὰ χάριν σου υἱοί, ἐν προμηθείᾳ θεϊκῇ, Ἀλεξανδρείας ὑπάρχουσιν οἱ φωστῆρες, τὸ τῆς ἀρετῆς, σκεῦος Σίλβεστρος, Μάρτυς ὁ στεῤῥός, μέγας Κύριλλος, καὶ ὁ Πηγᾶς Μελέτιος ὁ κῆρυξ, τῆς εὐσεβείας καὶ πρόμαχος· μεθ᾽ ὧν ἐξαίτει, τῇ Ἐκκλησίᾳ, τὴν εἰρήνην Παρθένε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. δ′. ᾽Ανέστης ἐκ νεκρῶν.

Βιώσας ἐπὶ γῆς, ἀρετῶν ταῖς ἰδέαις, καὶ ὅσιος ποιμήν, ἀναδειχθεὶς δι᾽ ἔργων, ἔφανας εὐσεβείας, ἐν δυσχειμέροις καιροῖς τὴν δύναμιν, Σίλβεστρε θεομάκαρ· ἀλλ᾽ ἐκδυσώπει Χριστὸν τὸν Κύριον, τοῦ οἰκτειρῆσαι πάντας τοὺς πιστῶς, τελοῦντας τὴν σὴν μνήμην.

Δόξα. Ὅμοιον.

Ε᾽ν Ῥόδῳ τὴν ὁδόν, εὐσεβῶς ἐκτελέσας, μετέβης τῆς ζωῆς, ἔνθα τὸ φῶς αὐγάζει, τάγμασι συγχορεύων, πάντων Ἁγίων ἔνδοξε Σίλβεστρε· ὅθεν σε ἀνυμνοῦμεν, δοξολογοῦντες Χριστὸν τὸν Κύριον, τὸν χορηγοῦντα χάριν διὰ σοῦ, τοῖς πόθῳ σε τιμῶσιν.

Καὶ νῦν. Θεοτοκίον.

Παρθένε Ὀρφανή, τοῦ Πατρὸς ἡ τὸν Λόγον, βαστάζουσα χερσί, παρθενικαῖς ὡς βρέφος, πρέσβευε παῤῥησίᾳ, μετὰ Σιλβέστρου αὐτῷ τοῦ μάκαρος, ῥύσασθαι τῆς γεέννης, τοῦ ἀκοιμήτου πυρὸς τοὺς δούλους σου, τοὺς πεποιθότας Μῆτερ ἐπὶ σέ, τὴν μόνην Θεοτόκον.

Εἶτα οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α′ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ′ ἤχου καὶ τὸ Προκείμενον.

Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.
Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Εὐαγγέλιον, ζήτει τῇ ιγʹ Νοεμβρίου.

Ὁ Νʹ. Δόξα. Ταῖς τοῦ Ἱεράρχου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. βʹ.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ο῞σιε Πάτερ, Σίλβεστρε μακάριε, Ἀλεξανδρείας Πρόεδρε, τῶν Ἀσωμάτων συνών, ταῖς οὐρανίαις ταξιαρχίαις, ὡς ἀγγελικῶς ἐπὶ γῆς, πίστει πολιτευσάμενος, σὺν αὐτοῖς τὸν Σωτῆρα ἱκέτευε, συγχώρησιν πταισμάτων, καὶ βίου τελείαν διόρθωσιν, δωρήσασθαι ἡμῖν ὡς ἀγαθός, τοῖς πόθῳ ἐπιτελοῦσι, τὴν παναγίαν μνήμην σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου ...

Εἶτα· ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς στʹ καὶ τοῦ Ἁγίου ὁμοίως εἰς στʹ. Κανὼν τῆς Θεοτόκου, οὗ ἡ Ἀκροστιχὶς ἐν τῷ δʹ τροπαρίῳ ἑκάστης ᾠδῆς· «Κυρίλλου».

Ὠιδὴ αʹ. Ἦχος αʹ. Ὁ Εἱρμός.

Σοῦ ἡ τροπαιοῦχος δεξιά, θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται· αὕτη γάρ, Ἀθάνατε, ὡς πανσθενής, ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις, ὁδὸν βυθοῦ καινουργήσασα.

Τροπάρια.

Σὲ Θεοκυῆτορ Ἀγαθή, οἱ εὐσεβεῖς ἀνυμνοῦμεν γηθόμενοι· Λόγον γὰρ ἐκύησας, τὸν τοῦ Πατρός, ἐν Παναγίῳ Πνεύματι, ἀπὸ καταδίκης, τῆς τοῦ Ἀδὰμ ἡμᾶς σώζοντα.

Σὺ Παρθενομῆτορ τὸν Θεόν, ὑπερφυῶς ἐν γαστρί σου σαρκώσασα, ἔσωσας τὸν ἄνθρωπον, ἐκ τῆς φθορᾶς, καὶ κληρονόμον ἔδειξας, τοῦτον Παραδείσου· διὸ πιστοὶ εὐφημοῦμέν σε.

Σὰρξ ἐν σοὶ ὁ Λόγος γεγονώς, τῶν θεϊκῶν χαρισμάτων ἀνέδειξε, μέτοχον τὸν ἄνθρωπον, Μῆτερ Ἁγνή· διὸ ζωῆς σε πρόξενον, καθομολογοῦμεν, καὶ εὐσεβῶς μακαρίζομεν.

Κόρη Θεοτόκε Μαριάμ, Μῆτερ Ἁγνή, Νυμφοτόκε Πανάμωμε, ἡ χερσὶ βαστάσασα, παρθενικαῖς, τὸν ἐπὶ πάντων Κύριον, αὐτὸν παῤῥησίᾳ, ὑπὲρ ἡμῶν καθικέτευε.

Κανὼν τοῦ Ἁγίου φέρων Ἀκροστιχίδα ἐν τοῖς Θεοτοκίοις καὶ τῇ θ′ ᾠδῇ τήνδε· «Κυρίλλου Ῥόδου».

Ἦχος δ′. Θαλάσσης τὸ ἐρυθραῖον.

Τὸν νοῦν μου, τῆς χάριτός σου Σίλβεστρε, τῇ αἴγλῃ φώτισον· λόγον μοι δὸς τῇ γλώττῃ συμπαθῶς, ἵνα πλέξω ᾠδήν σοι ἐγώ, ὁ ἐναγὴς καὶ ἄθλιος, ἐκ τῶν πολλῶν μου παραπτώσεων.

Αἰγύπτου, σὺ ἐν τῇ χώρᾳ ἔλαμψας, τοῖς κατορθώμασι, καὶ κραταιῶς προέστης τοῦ λαοῦ, τοῦ Κυρίου ὡς ἄλλος Μωσῆς, τῶν πειρασμῶν καὶ θλίψεων, καταφρονήσας Πάτερ Σίλβεστρε.

Τὸν βίον, ἐπιποθήσας τέλειον, τὸν κόσμον ἔλιπες, σὺν τοῖς τερπνοῖς τοῦ κόσμου καὶ σταυρόν, διὰ βίου βαστάζων τὸν σόν, ὁδὸν ζωῆς ἐβάδισας, τὴν μακαρίαν Πάτερ Σίλβεστρε.

Προθύμως, ἰχνηλατήσας Σίλβεστρε, ἀπὸ νεότητος, τῷ δι᾽ ἡμᾶς ὀφθέντι ἐν σαρκί, φιλανθρώπῳ Σωτῆρι Χριστῷ, δι᾽ ἀρετῆς ἐπέτυχες, τῆς αἰωνίου καταπαύσεως.

Τὴν μνήμην, τοῦ Πατριάρχου σήμερον, ἐπιτελέσωμεν, οἱ εὐσεβεῖς βοῶντες πρὸς αὐτόν· Σαῖς πρεσβείαις δυσώπει Θεόν, τὸν ἀγαθὸν δωρήσασθαι, τὴν σωτηρίαν ἡμῖν Σίλβεστρε.

Θεοτοκίον.

Κατάρας, τῆς ἀρχεγόνου ἔσωσας, τὴν κτίσιν ἅπασαν, ἄνευ σπορᾶς τὸν Λόγον τοῦ Πατρός, Θεομῆτορ τεκοῦσα σαρκί, ἐκ τῶν ἁγνῶν αἱμάτων σου· διό σε πάντες μακαρίζομεν.

Τῆς Θεοτόκου. Ὠιδὴ γ′. Ὁ Εἱρμός.

Ο῾ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾶν σοι· Ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀχράντου σου δόξης Φιλάνθρωπε.

Τροπάρια.

Τὸ ἅρμα ἐν ᾧ ὁ Ποιητής, ἐπέβη καὶ ἐπέφανε, μετὰ σαρκὸς ἡμῖν ὡς φιλάνθρωπος, πιστῶν χορεῖαι, ἀνευφημήσωμεν, ἐκβοῶντες· Πρέσβευε, τῷ Θεῷ Πανάχραντε, ἵνα εὕρωμεν χάριν καὶ ἔλεος.

Πληγέντας ἐχθροῦ τοῦ δυσμενοῦς, δολίαις ἐπιθέσεσι, καὶ χαλεπὸν ἡμᾶς διανύοντας, ἐν θλίψει βίον τοῖς ἁμαρτήμασι, Θεομῆτορ πρόφθασον, καὶ ἡμῖν ἀνάψυξιν, εὐσπλαγχνίας σου πλούτῳ πρυτάνευσον.

Χαρίτων πηγὴ ζωαρχική, Παρθένε ὡς ὑπάρχουσα, τὰς σαρκικῶν παθῶν ἐν τῷ καύσωνι, κατατακεὶσας καρδίας δρόσισον, τῶν ἀθλίων δούλων σου, καὶ ζωῆς τοῖς νάμασι, πάντας πότισον χαῖρε βοῶντάς σοι.

Υ῾ψίστου Θεοῦ τὸ καθαρόν, δοχεῖον καὶ εὐρύχωρον, τὸ φωταυγὲς αὐτοῦ οἰκητήριον, Ἁγνὴ Παρθένε Θεομακάριστε, ἐκ κινδύνων λύτρωσαι, πειρασμῶν καὶ θλίψεων, τοὺς κροτοῦντάς σοι ὕμνον ἐπάξιον.

Τοῦ Ἁγίου. Εὐφραίνεται ἐπὶ σοί.

Γενόμενος καθαρός, τῇ ἐν ἀσκήσει σου ζωῇ Σίλβεστρε, ὡς ἀληθῶς ἔμψυχον, σκεῦος ἐκλογῆς ἀναδέδειξαι.

Υ῾πήκοος τοῦ Χριστοῦ, τοῖς λόγοις γέγονας σοφὲ Σίλβεστρε, καὶ τὴν ψυχὴν τέθηκας, ὑπὲρ τῆς σεπτῆς ἐκλογάδος σου.

Ο῾λόκληρον σεαυτόν, δῶρον προσήγαγες Θεῷ Σίλβεστρε, ἀσκητικοῖς πόνοις σου, καὶ ποιμαντικοῖς κατορθώμασιν.

Κατάστερος οὐρανός, τῇ ἐναρέτῳ σου ζωῇ Σίλβεστρε, ὡς ἀληθῶς γέγονας, δόξαν τοῦ Θεοῦ διηγούμενος.

Τὴν μνήμην σου τὴν σεπτήν, σήμερον ἄγομεν πιστῶς Σίλβεστρε· σὺ δὲ αὐτὸς πάρεσο, πάντων βοηθὸς ταῖς πρεσβείαις σου.

Θεοτοκίον.

Υ῾πέραγνε Μαριάμ, τῶν συνεχόντων με δεινῶν δέομαι, ὡς ἀγαθὴ λύτρωσαι, πλούτῳ τῆς θερμῆς εὐσπλαγχνίας σου.

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Πατὴρ στοργικώτατος, τῶν Μοναζόντων φανείς, ποιμὴν φιλοπρόβατος, Ἀλεξανδρείας ὀφθείς, ἐν πᾶσι τῆς κλήσεως, ἄξιον τῷ Κυρίῳ, ἑαυτὸν παραστήσας, Σίλβεστρε ἠξιώθης, ἐκλεκτῶν τῆς μερίδος· ταῖς σαῖς οὖν ἡμᾶς πρεσβείαις, ῥύου ἐκ θλίψεων.

Δόξα. Ὅμοιον.

Θεῷ ἱερούργησας, τῷ ἐπὶ πάντων ἁγνῶς, λαοῦ ἐπροστάτευσας, τοῦ Ὀρθοδόξου στεῤῥῶς, πανεύφημε Σίλβεστρε· ἔφανας εὐσεβείας, τὴν σωτήριον χάριν· ἔτυχες θείας δόξης, ὡς θεράπων Κυρίου· αὐτὸν οὖν ἡμῖν εὐχαῖς σου, ποίει εὐΐλατον.

Καὶ νῦν. Θεοτοκίον.

Βλαστὸς εὐθαλέστατος, τῆς εὐαγοῦς σου Μονῆς, Ἁγνὴ ἀναδέδεικται, τῇ εὐδοκίᾳ τῇ σῇ, ὁ Ὅσιος Σίλβεστρος, θέλημα ὁ τὸ θεῖον, τοῦ Υἱοῦ σου πληρώσας, πίστεως ἐν δυνάμει, καὶ σοφίας ἐκφάνσει· αὐτὸν οὖν ὑμνολογοῦντες, σὲ μακαρίζομεν.

Τῆς Θεοτόκου. Ὠιδὴ δ'. Ὁ Εἱρμός.

Ο῎ρος σε τῇ χάριτι, τῇ θείᾳ κατάσκιον, προβλεπτικοῖς ὁ Ἀββακούμ, κατανοήσας ὀφθαλμοῖς, ἐκ σοῦ ἐξελεύσεσθαι, τοῦ Ἰσραὴλ προανεφώνει τὸν Ἅγιον, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Τροπάρια.

Α῎χραντον ἁγίασμα, τῆς δόξης Πανάχραντε, τῆς τοῦ Θεοῦ παναληθῶς, ἀναδειχθεῖσα ὡς αὐτόν, φρικτῶς σωματώσασα, τὰς ἐναγεῖς τῇ χάριτί σου ἁγίασον, καρδίας πάντων ἡμῶν τῶν ὑμνούντων σε.

Μέγιστον ἐπέκεινα, θαυμάτων Θεόνυμφε, θαῦμα τοῦ σοῦ παρθενικοῦ, τόκου τυγχάνει ἀληθῶς· σὺ γὰρ σαρκὶ ἔτεκες, τὸν Λυτρωτὴν συγκαταβάντα καὶ σώσαντα, γένος ἀνθρώπων Θεὸς ὡς φιλάνθρωπος.

Σύντριψον πρεσβείας σου, δυνάμει ὡς εὔσπλαγχνος, τὰς καθ᾽ ἡμῶν τοῦ πονηροῦ, δολιοπλόκους μηχανάς, Ἁγνὴ Μητροπάρθενε, καὶ εὐσεβῶς ἐν μετανοίᾳ πορεύεσθαι, τὸν βίον πάντα ἡμᾶς καταξίωσον.

Ρ῾ήμασιν ἁγίοις σου, προθύμως ἑπόμενοι, μακαρισμοὺς αἱ γενεαί, προσφέρομέν σοι τῶν πιστῶν, Ἁγνὴ καὶ κραυγάζομεν· Χαῖρε Θεὸν ἡ ἐν γαστρί σου χωρήσασα, εἰς σωτηρίαν βροτῶν καὶ ἀνάπλασιν.

Τοῦ Ἁγίου. Ἐπαρθέντα σε.

Δεῦτε σήμερον Σιλβέστρου τοῦ θεοφόρου, τὴν ἱερὰν πανήγυριν πιστῶν αἱ χορεῖαι, πόθῳ συγκροτοῦντες ψυχῆς, τῷ Κτίστῃ βοήσωμεν· Δόξα τῇ δυνάμει σου Κύριε.

Ε᾽πειγόμενος τῷ πόθῳ τοῦ Ζωοδότου, δι᾽ ἀρετῆς διήνυσας Σίλβεστρε τὸν βίον· ὅθεν κοινωνήσας αὐτοῦ, τῆς δόξης τὴν χάριν σου, δίδου τοῖς ἱκέταις σου ἄφθονον.

Ε᾽γεώργησας ψυχήν σου τῇ ἐγκρατείᾳ, εἰς ἑκατὸν ἐξήνεγκας τῆς δικαιοσύνης, Πάτερ τοὺς ὡραίους καρπούς, καὶ τρέφεις ἑκάστοτε, πόθῳ τοὺς ὑμνοῦντάς σε Σίλβεστρε.

Ε᾽ξορμώμενος τῆς Κρήτης νεύσει Κυρίου, τοῦ εὐσεβοῦς πληρώματος ἐν Ἀλεξανδρείᾳ, ὤφθης θεοφόρος ποιμήν, ὡς θείᾳ τῆς πίστεως, ῥάβδῳ στηριζόμενος Σίλβεστρε.

Τῇ λαμπρότητι τῶν ἔργων τῆς εὐσεβείας, ἐπὶ τῆς γῆς ἰσάγγελος Σίλβεστρε ἐδείχθης· ὅθεν τοῖς Ἀγγέλοις συνών, εὐχαῖς σου προστάτευε, πάντων τῶν ὑμνούντων σε Ἅγιε.

Θεοτοκίον.

Ρ῾υπωθέντα με τοῖς ῥύποις τῆς ἁμαρτίας, ὁλοτελῶς καθάρισον καὶ προσάγαγέ με, πλούτῳ χάριτός σου Χριστῷ, ἐκ πόθου βοῶντά σοι· Χαῖρε Θεονύμφευτε Δέσποινα.

Τῆς Θεοτόκου. Ὠιδὴ ε΄. Ὁ Εἱρμός.

Ὁ φωτίσας τῇ ἐλλάμψει, τῆς σῆς παρουσίας Χριστέ, καὶ φαιδρύνας τῷ Σταυρῷ σου, τοῦ κόσμου τὰ πέρατα, τὰς καρδίας φώτισον, φωτὶ τῆς σῆς θεογνωσίας, τῶν ὀρθοδόξως ὑμνούντων σε.

Τροπάρια.

Ο῾ σκηνώσας ἐν τῇ μήτρᾳ, τῇ σῇ Πατρὸς Λόγος Ἁγνή, ὑπὲρ λόγον σαρκοφόρος, τῷ κόσμῳ ἐπέφανε, διασῴζων Ἄχραντε, ἀπὸ ἐχθροῦ τῆς τυραννίδος, τοὺς ὀρθοδόξως ὑμνοῦντάς σε.

Εὐσπλαγχίας ἀκενώτου, τῆς σῆς τῷ ἐλαίῳ Ἁγνή, ἀμελείᾳ ἀσθενούσας, ἀθλίως τοῖς πάθεσι, τὰς καρδίας λίπανον, ἡμῶν τῶν σὲ ὁμολογούντων, Θεοῦ Μητέρα ἀπείρανδρον.

Ἡ τεκοῦσα ὑπὲρ φύσιν, Χριστὸν τὸν Σωτῆρα ἡμῶν, καὶ τὴν φύσιν τὴν πεσοῦσαν, ἀνθρώπων θεώσασα, μὴ ἐάσῃς Δέσποινα, ἡμᾶς τοὺς σὲ παρακαλοῦντας, ἀβοηθήτους ἐν θλίψεσιν.

Ἱεραῖς σε ὑμνῳδίαις, πιστῶς εὐφημοῦμεν Ἁγνή, καὶ ὑψοῦμεν ἱκεσίας, φωνήν σοι καὶ λέγομεν· Μητρικῆς σου χάριτος, ἡμᾶς καλῇ χειραγωγίᾳ, πρὸς τὸν Υἱόν σου ὁδήγησον.

Τοῦ Ἁγίου. Σὺ Κύριέ μου φῶς.

Ὡς ὄνειρον σαρκός, τὴν ἀπάτην τιθέμενος, οὐράνιον πολιτείαν, τῇ ἀσκήσει ἐκτήσω, ἐν κόσμῳ Πάτερ Σίλβεστρε.

Ἐφύλαξας Χριστοῦ, διὰ βίου τὰ λόγια, ἐκράτυνας πολιτείᾳ, ἰσαγγέλῳ Κυρίου, τὸν νόμον Πάτερ Σίλβεστρε.

Ὡς κήρυκα πιστόν, διδαγμάτων τῆς πίστεως, ὡς θεῖόν σε μυστηπόλον, εὐσεβείας πατρῴας, τιμῶμεν Πάτερ Σίλβεστρε.

Τῇ σύριγγι καλῶς, τῇ τοῦ λόγου χρησάμενος, ἐποίμανας ἐπὶ χλόην, ἀσφαλῶς σωτηρίου, τὴν ποίμνην Πάτερ Σίλβεστρε.

Σὺ Σίλβεστρε ποιμήν, Ἐκκλησίας ὁ πάνσοφος, θεούμενος κατὰ χάριν, προστασίας σου δίδου, τὴν χάριν τοῖς τιμῶσί σε.

Θεοτοκίον.

Ἱκέτευε θερμῶς, τὸν Υἱόν σου καὶ Κύριον, κολάσεως τῆς μελλούσης, τοῦ ῥυσθῆναι Παρθένε, τοὺς πίστει ἀνυμνοῦντάς σε.

Τῆς Θεοτόκου. Ὠιδὴ στ΄. Ὁ Εἱρμός.

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος, οὐκ ἔστιν ὁ ῥυόμενος, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. Σῶσον τὸν λαόν σου ὁ Θεὸς ἡμῶν· σὺ γὰρ ἰσχύς, τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.

Τροπάρια.

Δοξάζουσι χοροί, Ἀγγέλων ἄνω σε, καὶ κάτω γένος βρότειον· σὺ γὰρ ἅπασαν συνήρμοσας Ἁγνή, κτίσιν ὁρατήν τε καὶ ἀόρατον, παρθενικῶς, Θεὸν τεκοῦσα μετὰ σώματος.

Ἐπήγασας χαράν, τῷ θείῳ τόκῳ σου, τῇ κτίσει Μητροπάρθενε· ἀλλὰ πρόφθασον τῇ χάριτι τῇ σῇ, λύπης τὰς νεφώσεις διαλύουσα, ἐκ τῶν ψυχῶν, τῶν ἐπ᾽ ἐλπίδι προστρεχόντων σοι.

Ἐπόπτευε ἡμᾶς, ὑψόθεν λύουσα, ταχέως ἅπαν σκάνδαλον· τῇ προνοίᾳ σου προστάτευε ἡμῶν, βίου ἐν παντοίαις περιστάσεσι, καὶ πειρασμοῖς, Εὐλογημένη Θεονύμφευτε.

Λυτρούμενος βροτούς, τοῦ πάλαι πταίσματος, ὁ Λόγος προελήλυθε, μετὰ σώματος Πανάχραντε ἐκ σοῦ· ὅθεν παῤῥησίᾳ αὐτῷ πρέσβευε, σῶσαι ἡμᾶς, ἀπολλυμένους τοῖς παραπτώμασιν.

Τοῦ Ἁγίου. Θύσω σοι.

Γέγονας, τῶν Μοναστῶν ἀγλάϊσμα Σίλβεστρε, Ἀρχιερέων λαμπρότης, ἐν ἀσκήσει ζήσας καὶ ἐγκρατείᾳ, καὶ τῷ Κτίστῃ, ἱερουργήσας ὥσπερ Ἄγγελος.

Χρώμασι, τῶν ἀρετῶν ἐμόρφωσας ἄριστα, τὴν μακαρίαν ψυχήν σου· κατ᾽ εἰκόνα ὅθεν ἄνθρωπος ὤφθης, τοῦ Δεσπότου, Ἀλεξανδρείας Πρόεδρε Σίλβεστρε.

Πνεύματος, μαρμαρυγαῖς δεξάμενος ἔλαμψας, Ἀλεξανδρείας ἐκ θρόνου, ἐκ λυχνίας ὥσπερ ὑψηλοτάτης, καταυγάζων, τὴν Ἐκκλησίαν ἅπασαν Σίλβεστρε.

Ἔχομεν, πρὸς τὸν Θεὸν μεσίτην σε Σίλβεστρε· διό σοι Χαῖρε βοῶμεν, ὁ τῆς Κρήτης γόνος ἡγιασμένος, ἐν Αἰγύπτῳ, ὁ διαπρέψας τοῖς χαρίσμασιν.

Ὕμνοις σε, χαρμονικῶς γεραίρομεν Σίλβεστρε, ἐπιτελοῦντες σὴν μνήμην· ἐνεργείᾳ ὅθεν τῶν πρεσβειῶν σου, ἡμᾶς ῥύου, ἐκ τῆς κακίας τοῦ ἀλάστορος.

Θεοτοκίον.

Λύτρωσαι, ἐκ πειρασμῶν, κινδύνων τε θλίψεων, καὶ νοσημάτων παντοίων, εὐσπλαγχνίας πλούτῳ τῆς μητρικῆς σου, Θεοτόκε, τοὺς προσκυνοῦντας τὴν λοχείαν σου,

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ω῾ς φωστῆρα μέγιστον, Ἀλεξανδρείας, Πατριάρχα Σίλβεστρε, σὲ εὐφημοῦμεν οἱ πιστοί, ἱκετικῶς σοι κραυγάζοντες· Ἔσο προστάτης, ἡμῶν ταῖς πρεσβείαις σου.

῾Ο Οἶκος.

Καταφρονήσας ἐκ παιδός, τῶν ἐπὶ τῆς γῆς πάντων, καὶ ἀσκητικῷ βίῳ, τὴν χάριν ἐφελκύσας, ἐπὶ λυχνίας ὑψηλῆς, ὡς λύχνος ἐτέθης, δεξιᾷ τῇ θεϊκῇ, Σίλβεστρε Πάτερ Ὅσιε· ἐξ ἧς ὡς ἐξαστράψας, τοῖς πέρασιν αἴγλῃ τῆς εὐσεβείας, τρισηλίου φωταυγείας, ταῖς λάμψεσι κατελαμπρύνθης. Διὸ οἱ εὐσεβεῖς πιστῶς, συνελθόντες ἑορτάζομεν τὴν σήν, σήμερον μνήμην, καὶ ἱκετικῶς, βοῶμεν ἀπὸ καρδίας· Ἔσο προστάτης, ἡμῶν ταῖς πρεσβείαις σου.

Μηνολόγιον.

Τῇ ΙΘ΄ τοῦ αὐτοῦ μηνός (Φεβρουαρίου), Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Σιλβέστρου, Πάπα καὶ Πατριάρχου τῆς μεγάλης πόλεως Ἀλεξανδρείας, πρότερον Καθηγουμένου χρηματίσαντος τῆς Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου τῆς Ἀγκαράθου.

Στίχοι.
Πατριάρχης πέφηνε Σίλβεστρος μέγας,
Ὡς τοῖς τρόποις ἔνθεος τῆς εὐσεβείας.

Σίλβεστρος δεκάτῃ ἐνάτῃ ὅσιος ποιμὴν θάνε.

Συναξάριον.

Οὗτος ὁ μακάριος ἐγεννήθη ἐν τῇ μεγαλονήσῳ Κρήτῃ, ἐν κώμῃ τινὶ καλουμένῃ Στεφαναί, ἐκ γονέων εὐσεβῶν. Διακούσας τὰ ἐγκύκλια μαθήματα ἐν τῇ οἰκείᾳ πατρίδι, πόθῳ παιδείας μείζονος, ἐμαθήτευσε παρὰ τῷ σοφωτάτῳ Διδασκάλῳ Θεοφάνῃ τῷ Ἐλεαβούλκῳ. Εἰς μέτρον δὲ ἡλικίας φθάσας τῆς ἐν Χριστῷ φιλοσοφίας τὸν τρίβωνα ἐνεδύσατο, ὀνομασθεὶς ἐν τῇ ἀποκάρσει τῶν τριχῶν Σέργιος. Ἐντεῦθεν ἀσκητικῶς ἀγωνισάμενος καὶ ἐν καθέδρᾳ Πρεσβυτέρων τῇ εὐσεβείᾳ καὶ ἀρετῇ ὁσίως διαπρέψας καὶ τῆς περιπύστου ἐν τῇ οἰκείᾳ πατρίδι Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου, τῆς ἐπονομαζομένης τῆς Ἀγκαράθου, ὡς Καθηγούμενος αὐτῆς, ἐν συνέσει προστάς, ἀπάρας ἐκεῖθεν, μετέβη εἰς Αἴγυπτον. Ὅθεν θεοκρίτῳ ἐκλογῇ Πατριάρχης τῆς μεγάλης πόλεως Ἀλεξανδρείας κατασταθείς, ἐν ἔτει αφξθ΄ (1569), καὶ θεαρέστως τὸ ἐμπιστευθὲν αὐτῷ λογικὸν ποίμνιον ποιμάνας καὶ τῆς Ἐκκλησίας τοὺς οἴακας δεξιοστρόφως

κυβερνήσας ἐν χρόνοις δυσχειμέροις καὶ πονηροῖς, ἕνεκα τῆς τρικυμίας τῶν ἐκ τῆς δουλείας δεινῶν καὶ τῶν ἐκ τῶν ἀλλοθρήσκων δυναστῶν διωγμῶν, ἐκοιμήθη ἐν γήρατι καλῷ τὸν Ὁσίοις πρέποντα ὕπνον κατὰ τὸ ἔτος αφ (1590), μηνὶ Φεβρουαρίῳ τῇ ιθ΄, ἐν Λίνδῳ τῆς Ῥόδου, παρεπιδημῶν ἀσθενὴς ἐν τῷ ἐγγὺς αὐτῆς κειμένῳ Σιναϊτικῷ Μετοχίῳ, ἐν τῇ ἱερᾷ Μονῇ τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου, τῇ ἐπιλεγομένῃ τοῦ Ψάλτου ἢ Ψάρτου, ἔνθα καὶ ἐτάφη.

Τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τῶν Ἁγίων Ἀποστόλων, Ἀρχίππου, Φιλήμονος καὶ Ἀπφίας.

Στίχοι.
Ποθῶν τὸν ἀκρόγωνον Ἄρχιππος λίθον.
Κατηλοήθη τῷ πόθῳ τούτου λίθοις.

Χώραν φιλοῦντα τὸν Φιλήμονα χλόης,
Χλωροῖς λόγοις τύπτουσιν ἠκανθωμένοις.

Ἡπλωμένην παίουσιν εἰς γῆν Ἀπφίαν,
Εἰς οὐρανοὺς ἔχουσαν ὄμμα καρδίας.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων Μαξίμου, Θεοδότου, Ἡσυχίου, καὶ Ἀσκληπιοδότης.

Στίχοι.
Ἀνδρῶν τριὰς σύναθλος εὐσθενεστάτη,
Ἀνδρίζεταί σοι, καὶ τομῆς, Τριάς, μέχρι.

Ἔστεψε Χριστὸς τὴν Ἀσκληπιοδότην,
Ἧς ἐξέκοψε τὴν κεφαλὴν τὸ ξίφος.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ῥαβουλᾶ.

Στίχοι.
Βουλὰς Ῥαβουλᾶς θεὶς ἀπράκτους δαιμόνων,
Ἀπῆλθε βουλῇ τοῦ Θεοῦ τῶν ἐνθάδε.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ὁσίων Πατέρων ἡμῶν καὶ Ὁμολογητῶν, Εὐγενίου καὶ Μακαρίου.

Στίχοι.
Ὡς εὐγενεῖς ὅρπηκες ἐν γῇ Μακάρων,
Οἰκοῦσιν Εὐγένιος σὺν Μακαρίῳ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κόνωνος.

Στίχοι.
Κόνων Ὅσιε, εἰ πάλην οἶδας φέρειν,
Καὶ μισθὸν εἶχες παρὰ Κυρίου μέγαν.

Μνήμη τῆς Ὁσίας Μητρὸς ἡμῶν Φιλοθέης τῆς ἐξ Ἀθηνῶν.

Στίχοι
Ὅρπηξ Ἀθηνῶν ἐστιν ἡ Φιλοθέη,
Ἐχθρὸν βαλοῦσα Σταυροῦ τῇ πανοπλίᾳ.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. ᾿Αμήν.

Τῆς Θεοτόκου. Ὠιδὴ ζ΄. Ὁ Εἱρμός.

Σὲ νοητήν, Θεοτόκε κάμινον, κατανοοῦμεν οἱ πιστοί· ὡς γὰρ Παῖδας ἔσωσε τρεῖς, ὁ ὑπερυψούμενος, ὅλον με τὸν ἄνθρωπον, ἐν τῇ γαστρί σου ἀνέπλασεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Τροπάρια.

Φῶς νοητόν, ἐν ταῖς τρίβοις πάρεχε, τῶν πεποιθότων ἐπὶ σοί· σὺ γὰρ τόκῳ παρθενικῷ, Φῶς ἐκ Φωτὸς ἔτεκες, Κύριον τὸν εὔσπλαγχνον, καὶ ἁμαρτίας διέλυσας, προγονικῆς τὴν σκοτίαν, Ἁγνὴ Παρθένε Δέσποινα.

Ο῾ Βασιλεύς, ὁ τῶν ὅλων ἔδειξε, τοῦ οὐρανοῦ σε καὶ τῆς γῆς, Βασιλίδα θεοστεφῆ, καὶ πανωραιόμορφον, ἅπαντας εἰσάγουσαν, πρὸς βασιλείαν οὐράνιον, τοὺς εὐσεβῶς Θεοτόκον, Ἁγνὴ ὁμολογοῦντάς σε.

Σὺ ὡς λειμών, πανευώδης ἤνθησας, Χριστὸν τὸ ἄνθος τῆς ζωῆς, σωτηρίας θείας ὀσμῆς, πλήσαντα τὴν σύμπασαν· ὅθεν σου τῇ χάριτι, ἐκ τῶν ψυχῶν ἡμῶν δίωξον, ἀποφορὰν τὴν δυσώδη, παθῶν ὡς ψυχολέτειρα.

Λάμψον ἡμῖν, μετανοίας ἄφθονον, τὸν ἀπὸ ὕψους φωτισμόν, τὸν τοῦ σκότους νικητικῶς, ὡς ἂν ἀποκρούσωμεν, ἄρχοντα Θεόνυμφε, τὸν πονηρίᾳ σπουδάζοντα, ἀνελλιπῶς ἀπολέσθαι, ἡμᾶς τοὺς ἀνυμνοῦντάς σε.

Τοῦ Ἁγίου. Ἐν τῇ καμίνῳ.

Ἐν τῇ Αἰγύπτῳ, ἐπιδημήσας κλήσει τῇ θεϊκῇ, ὑπερηγωνίσω, ῥώμῃ πνευματικῇ, καὶ ἐστήριξαν κλονούμενον, ἐκ τῆς ἐχθρῶν ὀργῆς, τῶν εὐσεβῶν τὸ πλήρωμα Σίλβεστρε.

Ἐκλελεγμένος, Ἀρχιερέων Πάτερ Ἀρχιερεύς, ἀρχιερατείαν ἔσχες ἀγγελικήν· ὅθεν στάσεως Ἀγγέλων σε, Θεὸς ἠξίωσεν, ὑπὲρ ἡμῶν πρεσβεύοντα Σίλβεστρε.

Κεκοσμημένος, τῇ εὐκοσμίᾳ ὅλος τῶν ἀρετῶν, γήρᾳ τῷ καλλίστῳ, Πάτερ ὡς ἀληθῶς, στεφανούμενος κατέπαυσας, πρὸς τὴν ἀείζωον, τῶν ἐκλεκτῶν ἀπόλαυσιν Σίλβεστρε.

Κατηξιώθης, τῶν ἀθεάτων θέας τῆς μυστικῆς, λόγῳ ἀληθείας, ζήσας ἐπὶ τῆς γῆς, διὰ πίστεως ὡς πάνσοφος· ἀλλ᾽ ἐκτενῶς Θεόν, ὑπὲρ ἡμῶν ἱκέτευε Σίλβεστρε.

Συναπολαύων, μετὰ Δικαίων δόξης τῆς ὑπὲρ νοῦν, ἔνδον τοῦ νυμφῶνος, χεῖρας τὰς σὰς ὕψου, πρὸς τὸν Κύριον δεόμενος, καὶ ἱλεούμενος, αὐτὸν ἡμῖν μακάριε Σίλβεστρε.

Θεοτοκίον.

Λύσιν ἐξαίτει, παραπτωμάτων σπλάγχνοις ἐν μητρικοῖς, τοῖς ὑμνολογοῦσι, πόθῳ χρεωστικῶς, τὴν ἀμόλυντον λοχείαν σου, καὶ ἐκβοώντων σοι· Χαῖρε Θεοῦ τὸ σκήνωμα Ἄχραντε.

Τῆς Θεοτόκου. Ὠιδὴ η΄. Ὁ Εἱρμός.

Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι στρατιαί, ὡς Κτίστην καὶ Κύριον, ὑμνεῖτε ἱερεῖς, δοξάσατε Παῖδες, εὐλογεῖτε λαοί, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Παρθένον σε ἔδειξε, Μητέρα ὁ Θεός, εἰς κόσμου ἀνάπλασιν, ὡς μόνος ἀγαθός, Πανάχραντε Κόρη, ὃν ὑμνοῦσι λαοί, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Κλονούμενοι θλίψεσι, καὶ σφόδρα πειρασμῶν, τῷ πλήθει βαλλόμενοι, Παρθένε Ἀγαθή, βοῶμέν σοι πίστει· Δεῦρο σῶσον ἡμᾶς, Χριστὸν τὸν Σωτῆρα, τοῦ κόσμου ἡ τεκοῦσα.

Ἐλέησον Δέσποινα, ἀφράστως τοῦ Πατρός, τὸν Λόγον ἡ τέξασα, ἐλέους τὴν πηγήν, τοὺς δούλους σου χαῖρε, ψάλλοντάς σοι πιστῶς, τῇ τιμιωτέρᾳ, τῶν ἄνω στρατευμάτων.

Ὃν ἔτεκες Δέσποινα, αἱμάτων ἐξ ἁγνῶν, Σωτῆρα καὶ Κύριον, δυσώπει ἐκτενῶς, δωρήσασθαι πᾶσι, τοῖς ὑμνοῦσι τὸν σόν, πανάγιον τόκον, τὴν λύσιν τῶν πταισμάτων.

Τοῦ Ἁγίου. Χεῖρας ἐκπετάσας.

Φλόγα καθαρᾷ σου ἐν ψυχῇ, παμμάκαρ Σίλβεστρε, ὑφάψας ἄϋλον, καὶ πῦρ γενόμενος χάριτι, μυστικῶς τοῖς κατορθώμασι, τῆς ἀσεβείας τὴν σαθράν, ὕλην κατέκαυσας, καὶ τελείως, θράσος δολίων δαιμόνων κατῄσχυνας.

Θείᾳ ἀνεδείχθης ἐκλογῇ, ποιμένων ἄριστος, ποιμὴν μακάριε, πατὴρ πατέρων τε Σίλβεστρε, καὶ Θεοῦ πρὸς τὴν ἐπίγνωσιν, τῶν Ὀρθοδόξων τὸν λαόν, ῥάβδῳ σοφίας σου, ὁδηγήσας, δικαιοσύνης ἐδέξω τὸν στέφανον.

Νεῖλος πλημμυρίσας νοητῶς, ὡς ἄλλος ἤρδευσας, οὐ μόνον Αἴγυπτον· ῥοαῖς γὰρ γνώσεως κρείττονος, καὶ πηγαῖς σοφίας Σίλβεστρε, τῇ Ἐκκλησίᾳ ποταμός, μέγας ἐπήγασας· διὰ τοῦτο, ὕμνοις τιμᾷ σε τελοῦσα τὴν μνήμην σου.

Χαίρει Ἀγκαράθου ἐπὶ σοί, ἡ Μάνδρα Σίλβεστρε, καὶ μακαρίζει σε· αὐτῆς γὰρ βλάστημα τίμιον, καὶ σεπτὸς ἡγήτωρ πέφηνας· ὅθεν ἐξαίτει ἐκτενῶς, ταύτῃ εὐστάθειαν, καὶ εἰρήνην, ταῖς δυναταῖς σου πρεσβείαις πρὸς Κύριον.

Βίον διανύσας ὑψηλόν, τὸ γῆρας Σίλβεστρε, τίμιον ἔδειξας· διὸ βραβεύσας σε Κύριος, ὁ Θεὸς κληρονομίας σοι, ἐπουρανίου δωρεάς, Πάτερ ἀπέδωκε, παρ᾽ οὗ αἴτει, χάριν τοῖς πόθῳ τελοῦσι τὴν μνήμην σου.

Θεοτοκίον.

Ὅλης ἐκ καρδίας καὶ ψυχῆς, τὸν θεῖον τόκον σου, ἐγκωμιάζομεν, δι᾽ οὗ ἐῤῥύσθημεν Δέσποινα, τοῦ Ἀδὰμ τῆς κατακρίσεως, καὶ εὐλογίας καὶ ζωῆς, χάριν ἐλάβομεν, οἱ βοῶντες· Χαῖρε Παρθένε Μαρία Θεονύμφευτε.

Τῆς Θεοτόκου. Ὠιδὴ θ΄. Ὁ Εἱρμός.

Τύπον τῆς ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος, ἔδειξεν ἄφλεκτος, καὶ νῦν καθ᾽ ἡμῶν, τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον, ἵνα σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνωμεν.

Τροπάρια.

Μύρον τῆς ζωῆς τὸ εὔοσμον, τὸν ζωοδότην Λόγον, ἡ σωματώσασα, παθῶν δυσωδῶν, ὡς ἀγαθὴ ἀποκάθαρον, τὰς καρδίας τῶν πόθῳ βοώντων σοι, Ἄχραντε Θεοτόκε, τοῦ Ἀρχαγγέλου τὸ μελῴδημα.

Ρ῾ύπων χαλεπῶν ἀπόπλυνον, τοῖς ἀκενώτοις ῥείθροις, τῆς εὐσπλαγχνίας σου, ἡμῶν τὰς ψυχάς, τὰς τοῖς πολλοῖς ἀτοπήμασι, μολυνθείσας ἀθλίως καὶ πάθεσιν, ἵνα σε γηθοσύνως, Θεοκυῆτορ μακαρίζωμεν.

Ο῞λοι ἐναγεῖς ὑπάρχοντες, τῆς ἁμαρτίας ἔργοις, ἀπὸ νεότητος, πρὸς σὲ ταπεινῇ, ψυχῇ πιστῶς καταφεύγομεν, σωτηρίαν αἰτοῦντες καὶ λύτρωσιν· μὴ οὖν ἡμῶν ἀπώσῃ, τὴν ἱκεσίαν Μητροπάρθενε.

Υ῞ψος θαυμαστὸν σαρκώσεως, τῆς τοῦ ἀσάρκου Λόγου, χαῖρε Πανύμνητε· τὴν νῦν προσφοράν, ὡς εὐμενὴς τοῦ ἱκέτου σου, δεξαμένη πρεσβείαις ἁγίαις σου, ῥῦσαί με Θεοτόκε, ἐκ τῆς μελλούσης κατακρίσεως.

Τοῦ Ἁγίου. Λίθος ἀχειρότμητος.

Υ῞ψος πρὸς ἀθέατον δόξης, τῆς τοῦ Δεσπότου σου ἀνῆλθες· κλίμακι καλῇ γὰρ ἐχρήσω, τὰς ἀρετάς σου, Σίλβεστρε θεῖε Πάτερ· διὸ ἀνευφημοῦμέν σε, καὶ ἐξαιτοῦμεν ἀντιλήπτορα.

Ρ῾όδος ὡς ἁγίασμα ἔχει, σῶμα τὸ θεῖόν σου ἐν κόλποις· ἐν αὐτῇ γὰρ ὕπνον ὑπνώσω, τὸν τῶν Δικαίων, ὁ μετανάστης κόσμου· διὸ αὐτῆς προστάτευε, ἐν τοῖς κινδύνοις Πάτερ Σίλβεστρε.

Ο῞λον ἐκ νεότητος ἔσχες, πρὸς τὰ αἰώνια τὸν πόθον, ὧν κληρονομήσας τὴν δόξαν, ἡμᾶς τὸν βίον, ἐν μετανοίᾳ ἄγειν, ταῖς σαῖς πρεσβείαις Σίλβεστρε, πρὸς τὴν Τριάδα καταξίωσον.

Δῶρον ἀξιόθεον Πάτερ, σαυτὸν προσήνεγκας Κυρίῳ, τῷ Εὐαγγελίῳ δουλεύσας, παντὶ ἐν βίῳ, φιλοπονίᾳ ἄκρᾳ· διὸ αὐτὸς δοξάζει σε, ὃν γεγηθότες μεγαλύνομεν.

Ὄρη τὰ αἰώνια φθάσας, καὶ παριστάμενος τῷ θρόνῳ, τῆς ὑπερουσίου Τριάδος, αὐτὴν δυσώπει, ἐλεηθῆναι πάντας, ἡμᾶς τοὺς ἐκτελοῦντάς σου, τὴν θείαν μνήμην Πάτερ Σίλβεστρε.

Θεοτοκίον.

Ὕμνοις μεγαλύνομεν πάντες, οἱ ἐξ Ἀδὰμ Ἁγνὴ Παρθένε, τὴν παρθενικήν σου λοχείαν, δι᾽ ἧς ἐῤῥύσθη, φιλανθρωπίᾳ ἄκρᾳ, Θεοῦ τοῦ πανοικτίρμονος, τῆς ἁμαρτίας τὸ ἀνθρώπινον.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἀσκητικῇ τὸν βίον σου, φαιδρύνας εὐκοσμίᾳ, ποιμαντικῇ διέπρεψας, ἄριστα ἐπιστήμῃ· διὸ Θεός σε βραβεύσας, Σίλβεστρε θεοφόρε, ἐν πόλῳ κατηξίωσεν, ἐκλεκτῶν τῆς μερίδος· σὺ δὲ αὐτῷ, παῤῥησίᾳ πρέσβευε ὑπὲρ πάντων, τῶν πόθῳ ἐκτελούντων σου, μνήμην τὴν φωτοφόρον.

Ἕτερον. Τῶν Μαθητῶν ὁρώντων σε.

Πατριαρχῶν ἐκ θρόνου σε πρὸς τὴν ἄνω, ζωὴν μετακαλέσας φύσεως νόμῳ, Κύριος τὴν δόξαν σοι ἀπέδωκε, Σίλβεστρε Πάτερ Ὅσιε· διὸ αὐτὸν ἐκδυσώπει, ὑπὲρ εἰρήνης τοῦ κόσμου.

Θεοτοκίον.

Τὸν δι᾽ ἡμᾶς ἐν κόλποις σου Πατρὸς Λόγον, φρικτῶς Πνεύματι Θείῳ σωματωθέντα, πρέσβευε ὡς ἔχουσα Πανύμνητε, τὴν εὐσπλαγχνίαν ἄφατον, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων, τὴν σὴν ἀκήρατον δόξαν.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ′ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ′. Ὡς γενναῖον ἐν Μάρτυσι.

Φιλεόρτων συστήματα, ὁμοφρόνως συνδράμωμεν, καὶ ᾀσμάτων στέμμασι στεφανώσωμεν, ἐν Πατριάρχαις τὸν ὅσιον, Ποιμένα τὸν γνήσιον, ἐκλογάδος τῆς σεπτῆς, τὸν μακάριον Σίλβεστρον, τούτῳ λέγοντες· Τὸν Θεὸν ἐκδυσώπει παῤῥησίᾳ, ὑπὲρ πάντων τῶν τελούντων, τὴν ἀεισέβαστον μνήμην σου.

Τῶν προσκαίρων τὴν μέριμναν, ἀποῤῥίψας ὡς πάνσοφος, τὸν σταυρόν σου ἔλαβες ἐπωμάδιον, καὶ Μοναζόντων ἠγώνισαι, ἀγῶνα τὸν κάλλιστον,

καὶ τὴν χάριν ἐκ Θεοῦ, ἀπειρόδωρον ἔλαβες, Πάτερ Σίλβεστρε, καὶ ποιμὴν Ἐκκλησίας ἀνεδείχθης· ἀλλ᾽ αὐτὴν οὖν ταῖς εὐχαῖς σου, ἐκ τῶν αἱρέσεων φύλαττε.

Ε᾽ν Αἰγύπτῳ γενόμενος, ὁ ἐκ Κρήτης ὁρμώμενος, Ὀρθοδόξου πίστεως τὴν λαμπρότητα, ταῖς ἀρεταῖς σου ἐξέφηνας, καὶ Μάρκου διάδοχος, ἀνεδείχθης ἀληθής, μεθ᾽ οὗ πάντοτε πρέσβευε, Πάτερ Σίλβεστρε, ἐκτενῶς τῇ Τριάδι τῇ Ἁγίᾳ, τῶν πταισμάτων δωρηθῆναι, τοῖς εὐφημοῦσί σε ἄφεσιν.

Στεφανῶν σε τὸ βλάστημα, Ἀγκαράθου τὸ καύχημα, Ἀλεξάνδρου πόλεως τὸ ἀγλάϊσμα, τὸν ἐν τῇ Ῥόδῳ τελέσαντα, τὸν βίον ἐν γήρατι, ὑπερκάλλῳ ἀληθῶς, μακαρίζομεν Σίλβεστρε, καὶ αἰτοῦμέν σε, ἀντιλήπτορα βίου ἐν ἀνάγκαις, μεσιτείαις ταῖς σεπταῖς σου, πρὸς τὸν φιλάνθρωπον Κύριον.

Δόξα. Ἦχος β'.

Ο῞σιε Πάτερ, ὡς φίλεργος μέλισσα, ἀσκητικῇ συντονίᾳ, ἐν σίμβλῳ τῆς καρδίας σου, ἀρετῶν τὸ μέλι κηροπλαστήσας, εὐσεβείας γλυκασμῷ, ἐν ἡμέραις θλίψεως πικρᾶς, τῶν Ὀρθοδόξων τὸν λαόν, πνευματικῶς κατηύφρανας· αὐτῷ γὰρ γέγονας τὰ πάντα, ὡς ὁ Παῦλος φησίν, Πατριαρχῶν ἐν καθέδρᾳ ἀνελθών, καὶ ὡς ποιμὴν ἀληθής, καὶ τοῦ Ἀρχιποίμενος Χριστοῦ μιμητής, διαπρέψας ὑπὲρ ἄνθρωπον. Ἀλλ᾽ ὡς ἐν οὐρανοῖς, Θεῷ παριστάμενος, μακαριώτατε Σίλβεστρε, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν τελούντων τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με, ὑπὸ τὴν σκέπην σου.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ' καὶ στ' Ὠιδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ ιγ' τοῦ Νοεμβρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις τῶν Ὁσίων ὁ κοινωνός, καὶ Ἀλεξανδρείας, Πατριάρχης ὁ θαυμαστός· ταῖς σαῖς οὖν πρεσβείαις, ἐν βίου ταῖς ἀνάγκαις, Σίλβεστρε θεομάκαρ, ἡμῶν προστάτευε.

Δίστιχον.
Κύριλλος ἀνύμνησεν ὁ Ῥόδου πόθῳ,
Σίλβεστρον τὸν Πρόεδρον Ἀλεξανδρείας.